διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. τόπος δὲ καὶ γεωπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρὸς, οὗ χρήζουσι μᾶλλον οἱ φυτευταί. πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιστα ἐν θέρει, μετὰ τὴν ἀνατολὴν τοῦ κυνάστρου. ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία. καὶ οὐδέποτε γίνεται, εἰ μὴ ἀραιῶς ἐν τῇ Ῥώμῃ κατὰ τὴν ὥραν. ἐν Αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία, εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κομμέων, ἢ ἐκ τῶν οἰκείων ξύλων. καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλεονάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποί, ἀπομένουσι δὲ ὠμοί. καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτὰς, ὡς αἱ ἐλαῖαι πολλοῖς κλάδοις προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ. τινὰ δὲ ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ, καὶ ὄχναι, καὶ αἴγειροι. ἡ διαφορὰ δὲ τῶν φυτῶν ἀγρίων καὶ τῶν κηπαίων, διακρίνεται δι' ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη, διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς· ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον, σκληρότερον, καὶ πολυκλονώτερον, ἧττον ὑγρὸν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας. τὸ δὲ θῆλυ, ἐπ' ἔλαττον ἔχει ταῦτα. δεῖ τοίνυν, ὅταν κατανοήσωμεν ταῦτα, πάλιν στοχάσασθαι πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ, καὶ τὰ γένη καθ' αὑτά. καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί· πῶς ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν, ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τοῦτον τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις, καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς. ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. πρὸς δὲ τὸ μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν, ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινὰ μὲν γίνονται ἐν τισὶ τόποις, ἐν ἄλλοις δ' οὐκ ἔτι· καὶ τὰς φυτείας αὐτῶν, καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν, καὶ τῶν ὀσμῶν, καὶ τοῦ γάλακτος, καὶ τοῦ κόμμεως, καὶ τὴν χρηστότητα καὶ τὴν κακίαν ἑκάστων.

A per hoc artificium horte nses fiunt. Locus verò, & cultura terræ huic rei conferunt plurimùm, & maximè anni tempus, quo quæ plantantur, magis indigent. E plantis plures in vere plantantur, in hyeme paucæ, & autumno, paucissimæ æstate post ortum Caniculæ. Nam in paucis locis eiusmodi plantatio fit, & nusquam, nisi Romę, & perrarò eo tempore. In Ægypto non fit plantatio nisi per annum semel. Arborum B aliæ è radicibus suis folia producunt, aliæ è gemmis, aut è ligno suo, quædam prope terram, quædam longè, quædam in medio. Et aliæ semel in anno fructum ferunt, aliæ sæpius, sed non maturescunt fructus earum, & crudi manent. Quædam multùm sunt fertiles, & multo tempore, vt ficus: quædam altero quoque anno fructum ferunt, altero reficiuntur, velut oleæ, licet multos ramos producant, quibus velantur. Quædam per iuuentam C fertiliores sunt, quàm per senectam, aliæ contrà, vt amygdali, pyri, populi. Differentia quoque syluestrium plantarum, & hortensium, per masculos discernitur, & fœmellas, vbi quæque ipsarum per proprietatem, quæ eis inest, cognita fuerit. Nam masculus spissior est, ac durior, plurimis ramis abundans, minùs humectus, celerior in maturationem, habétque folia differentia, & surculos. Fœmella ve- D rò omnia hæc minus habet. Oportet igitur, vbi hæc cognouerimus, rursus coniecturam facere, quo pacto cognoscamus genera per se, & arbores itidem. Et eodem modo in herbis, quo pacto accipienda sint, quæ dixerunt de hisce antiqui: quomodo inspectis eorum libris, quos scripsere, perscrutari queamus medullam harum rerum inquisitione compendiosa. Id est, vt consideremus her- E bas oleares, & herbas, quæ solum semen habent, & quæ auxilium præstant, & medicinales, & mortiferas plantas. Eodem modo arbores vnà cum herbis. Sed & ad cognoscendas causas ipsarum generationem inquirere debemus, & quare nonnullæ in quibusdam locis nascantur, in quibusdam non. Item plantationes earum, & radices, & succorum F differentias, atque odorum, & lactis, & gummi bonitatem, & malitiam cuiusque,